Σχόλια. Ἐκ φορμίδος.] φορμὶς κυρίως ἡ ψίαθος. A νῦν δὲ ἡ σπυρίς. ὡς τῶν ἄλλων ποιητῶν διὰ ψυχρότητα ποιήσεως, δι᾽ ὀβολοῦ καρύων ὑποστελλομένων τὴν κακίαν τοῦ δράματος.

BISETVS. Ὁ τούτων νοῦς ἐστι. οἱ θεαταὶ ἐν τούτῳ τῷ δράματι οὐχ ἕξουσι γέλωτα Μεγαρόθεν κεκλαμμένον, διότι ἡμῖν γὰρ οὐκ ἔστιν οὐδὲ κάρυα, ἅπερ κατ᾽ ἔθος γελοίου χάριν οἱ δοῦλοι τοῖς θεαταῖς διαρρίπτοντες παρέχουσι. ση- B μειωτέον δὲ ταῦτα σκληρότερον εἰρῆσθαι, καὶ παρὰ τοὺς κοινοὺς τῶν γραμματικῶν κανόνας. τινὲς μὲν τὸ φορμίδος στίζουσι, καὶ τὸ δούλῳ δοτικὴν ποιοῦσι, καὶ διαρριπτοῦντι χαράξουσιν. ἀλλ᾽ ἴσως πιθανώτερον εἰ ταῦτα ἀσυνδέτως νοοῦνται, οὐ γὰρ ἡμῖν ἐστιν οὔτε κάρυα, οὔτε δούλω αὐτὰ τοῖς θεαταῖς διαρριπτοῦντε. τουτέστιν ἐν τούτῳ τῷ δράματι ὁ ποιητὴς γέλωτος χάριν εἰς τὸ θέατρον οὐ παρεισάγει δούλους κάρυα τοῖς θεαταῖς διαρριπτοῦντας. τὸ δὲ δυϊκὸν ἀντὶ τοῦ πληθυντικοῦ μέτρου χάριν ἐτέθη.

CHRIST. Ἐκ φορμίδος.] Poetas alios ſuggillat Comicos, qui diobolaribus nucibus fabularum ſuarum frigiditatem & vitium tegebant, & auram popularem ſpectatorum ſic demereri ſtudebant. In ſportula autem nuces ferebant quam hic φορμίδα vocat, quæ propriè eſt ψίαθος, ſed vſurpat ἀντὶ τῆς σπυρίδος.

Οὔθ᾽ Ἡρακλῆς τὸ δεῖπνον ἐξαπατώμενος,
Οὐδ᾽ αὖθις ἀνασελγαινόμενος Εὐριπίδης.
Οὐδ᾽ εἰ Κλέων ἔλαμψε τῆς τύχης χάριν,
Αὖθις τὸν αὐτὸν ἄνδρα μυττωτεύσομεν. C
Ἀλλ᾽ ἔστιν ἡμῖν λογίδιον, γνώμην ἔχον,
Ὑμῶν μὲν αὐτῶν οὐχὶ δεξιώτερον,
Κωμῳδίας δὲ φορτικῆς σοφώτερον.
Ἔστιν γὰρ ἡμῖν δεσπότης ἐκεινοσί,
Ἄνω καθεύδων, ὁ μέγας, οὑπὶ τοῦ τέγους.
Οὗτος φυλάττειν τὸν πατέρ᾽ ἐπέταξεν νῷν,
Ἔνδον καθείρξας, ἵνα θύραζε μὴ ᾽ξίῃ.
Νόσον γὰρ ὁ πατὴρ ἀλλόκοτον αὐτοῦ νοσεῖ.
Ἣν οὐδ᾽ ἂν εἷς γνοίη ποτ᾽ οὐδ᾽ ἂν ξυμβάλοι,

Nec Herculem ampla cœna quem fefellerit,
Euripides nec rurſus infamabitur.
Nec ſi ſuperbè ſors Cleonis ſplendeat
Hominem interemus vt moreti poculum.
Sed frugi habemus & bonum dicterium
Virtute veſtrâ non quidem concinnius
Melius inepta ſed tamen comœdia.
Nam qui ſuperno dormit in cœnaculo
Grauis atque magnus iſte homo eſt nobis herus
Senemq́ cuſtodire nos iuſſit patrem
Coercitum intus ne foras eliminet.
Ægrotat hic mirabilem morbum pater.
Nec eſt vt vllus hunc ſcopum collineet.

Σχόλια. Οὔθ᾽ Ἡρακλῆς τὸ δεῖπνον] ἐν τοῖς πρὸς D τούτου δεδιδαγμένοις δράμασιν, εἰς τὴν Ἡρακλέος ἀπληστίαν, πολλὰ προείρηται. ποιοῦσι δὲ τὸν Ἡρακλέα γελοίου χάριν, κεκλημένον εἰς δεῖπνον καὶ δυσχεραίνοντα, διὰ τὸ βραδέως αὐτῷ παρατιθέναι τὰ ὄψα. Ἀνασελγαινόμενος] κατακωμῳδούμενος, ὑβριζόμενος. καθ᾽ αὐτοῦ γὰρ καθῆκε τὰς Θεσμοφοριαζούσας. φησὶν οὖν, οὐ δεύτερον ταυτολογήσω περὶ αὐτοῦ ὡς οἱ ἄλλοι. οὐ μόνον δὲ ἐν τούτῳ τῷ δράματι εἰσῆκται οὕτως Εὐριπίδης. ἀλλὰ καὶ ἐν τῷ προαγῶνι ἐν Ἀχαρνεῦσιν.

BISETVS. τοῦτο δὲ τὸ ῥῆμα σύγκειται ἐκ τῆς ἀνὰ προθέσεως, καὶ τοῦ ῥήματος ἀσελγαίνεσθαι. Σουίδας. ἀσέλ- E γεια, πολυτέλεια, πορνεία, ἀκαθαρσία, μιαρία. παρῆκται δὲ ὥς φασιν ἐξ αἰτίας ταύτης. Σέλγη, πόλις ἐστὶ Πισιδίας, ὅπου κακῶς ἔζων οἱ ἄνθρωποι, καὶ ἀλλήλοις ἐκοινώνουν. κατ᾽ ἐπίτασιν δὲ τοῦ α, τὸ ἀσελγαίνειν καὶ ἀσελγές. οὐ μόνον δὲ ἐπὶ τοῦ ἀκολάστου ἔταττον οἱ παλαιοί, ἀλλ᾽ ἐστὶν ὅτε καὶ ἐπὶ τοῦ μεγάλου. καὶ γὰρ ἄνεμον ἀσελγῆ λέγουσι. καὶ ἀσελγόκερως τράγος, ὁ μέγας, καὶ ὁ κορύπτων, εἴτε κεραΐζων. Ἀριστοφάνης ἐν Πλούτῳ φησί, πίονες ἀσελγῶς, ἀντὶ τοῦ μεγάλως, καὶ ἀσελγὴς ἄνεμος ὁ σφοδρῶς πνέων.

CHRIST. Οὔθ᾽ Ἡρακλῆς] Multa hic noſter Co- F micus in Herculis voracem inſatietatem, dixit in aliis fabulis, ipſúmq; Herculem ridiculi gratia inducit ad cœnam vocatum & de tardius appoſitis ferculis conquerentem, vt diximus ad Lyſiſtratã in prouerbio Ἡρακλῆς ξενίζεται. Omnino hęc dicũtur in poetas talia docentes. Ἀνασελγαινόμενος Εὐριπίδης] Comico aceto perfuſus & ſubſannatus Euripides multum fuit in fabula θεσμοφοριαζουσῶν & in Acharnẽſib. Fortaſſis etiã ἀνασελγαινόμενος dixit pro οὐκ ἀσελγαινόμενος quia fuit μισόγυνος. G

Σχόλια. Οὐδ᾽ εἰ Κλέων γ᾽ ἔλαμψεν] τοῦτό φησιν ὡς τοῦ Κλέωνος, ἀπὸ δυσγενῶν ἐκλάμψαντος, ὃν ἐκωμῴδησεν ἐν τοῖς Ἱππεῦσι καθεὶς κατ᾽ αὐτοῦ τὸ δρᾶμα. καὶ φησίν. οὐ πάλιν αὐτὸν κωμῳδήσει ἑτέραν κωμῳδίαν ποιούμενος. μυττωτεύσομεν δέ, ἀντὶ τοῦ συντρίψομεν. ὃ εἰμύσομεν. ἐκπικρανοῦμεν. μετῆκται δὲ ἀπὸ τῶν σκορόδων. μυττωτὸς γάρ ἐστι κυρίως. τὸ ἐκ σκορόδων καὶ τυροῦ καὶ ὄξους τρίμμα. καὶ οὕτως ὠνομάσθη, ἀντὶ τοῦ μυσωτόν τι. παρὰ τὸ μυσάττεσθαι αὐτοῦ τὴν ὀσμήν. καὶ τροπῇ Ἀττικῇ τοῦ σ εἰς τ καὶ πλεονασμῷ μυττωτός. εἴγε καὶ ὁ Καλλίμαχός φησιν. ἣν ἐτρίψαντο μυσωτόν.

CHR. Μυττωτεύσομεν] Interemus, & amarore inficiemus, ſumpta ab alliis metaphora, Nã μυττωτὸς propriè intritũ eſt ex alliato, caſeo & aceto, & ſic dictũ ἀπὸ τοῦ μυσάττεσθαι αὐτοῦ τὴν ὀσμήν, & vt dixit Maro (ſi tamẽ is auctor) ſimo dãnat ſua prandia naſo, nos Græcè vertebamꝰ ὀσμὴν ἐμυδάξατο δαιτός. vnde μυσωτὸς dictus etiã à Callimacho ἣν ἐτρίψαντο μυσωτόν, deinde τ verſo in σ & duplicato, μυττωτόν. Nos olim ad Irenes Cõmentaria gloſſemata amplius diximus. Notãdum aũt hic notari Cleonem vt qui illuſtris eſſe voluerit ex obſcuritate ſui generis, vt patet ex Equitum fabula, quam in ipſum ſcripſit.

Σχόλια. Ἀλλ᾽ ἔστιν ἡμῖν λογίδιον] ὑπόθεσις ἔχουσα περιπέτειαν. λογίδιον δὲ εἶπε, μετριάζων. διὸ ἐπιφέρει. ὑμῶν αὐτῶν οὐχὶ δεξιώτερον. ἀντὶ τοῦ ἧττον τῆς ὑμῶν σοφίας.

CHR. Οὐχὶ δεξιώτερον] Huc vt arbitror, pertinẽt q apud Sudã legũtur voce ἀνασεσυρμένην κωμῳδίαν, ait n. καλοῦσι δὲ τὸ μὲν σκωπτικὸν ἐπίχαριν, τὸ δὲ εὐτράπελον, ἐπιδέξιον, τὸ δὲ ἀνασεσυρμένον, ἄπλαστον καὶ ἁπλοῦν. Sunt autem δεξιοί, εὐπαίδευτοι. Et hic valet οὐ δεξιώτερον οὐχ ἧττον τῆς ὑμῶν σοφίας.

Σχόλια. Φορτικῆς] ἀντὶ τοῦ οἰκτρᾶς τῆς ὑπ᾽ ἄλλων λεγομένης. ἐν ᾗ φορτικά τινα εἰσάγουσιν. Ὁ μέγας.] οὐ τῇ ἡλικίᾳ. ἀλλὰ τῇ ἐξουσίᾳ καὶ τῇ σεμνότητι. τὸ δὲ ἄνω, δεικτικῶς φησιν ἐπὶ ὑπερῴου. ὁρᾶται γὰρ ὁ Βδελυκλέων ἐπὶ ὑπερῴου καθήμενος. Νόσον γὰρ ὁ πατὴρ ἀλλόκοτον] ξένην καὶ παρηλλαγμένην αὐτοῦ. παρόσον ὁ μέν, φιλόδικος. ὁ δὲ τοῦτο βδελυττόμενος.

CHR. Ξυμβάλοι] Etiam συμβάλλειν eſt ἐνύπνια ἐπιγνῶναι, vt Latini coniicere dicunt. Quod aũt ait τοπάζετε, eſt εἰκάζετε, ὑπονοεῖτε, cõiicite inquit & diuinate quo morbo ille teneatur. Hic Scholiaſtes Græcꝰ ſcripſit, γράφεται δὲ καὶ ἀπροσώπως τοπάζετε, mẽdoſè, legẽdũ. n. τοπάζεται & ſic in Ve. ed.